L. Bl. IV. 104.

16

16

# ΧΡΙΣΤΟΣ ΒΑΣΙΛΕΥΣ ΤΩΝ ΒΑΣΙΛΕΩΝ,

Ἐν Πανηγυρικῷ μὲν θεάτρῳ καὶ βασιλικῇ Ἀναδείξει, ἀλλὰ πρὸς γέλωτα καὶ ἐμπαιγμὸν γενομένῃ, ὑπὸ τὸν χρόνον τοῦ Παθήματος

παρὰ τοῦ ἀσεβοῦς τῶν Ἰουδαίων λαοῦ ἐνθρονισθείς,

## ΕΝ Τῌ ΝΩΡΙΜΒΕΡΓΕΩΝ ΑΚΑΔΗΜΙᾼ,

ΠΑΛΑΙΚΩΜῌ ΛΕΓΟΜΕΝῌ,

Ἑλληνιστὶ,

ὡσεὶ ἐν Θεατρείῳ

Δημοσίᾳ προκαταβεβλημένος

ὑπὸ τοῦ

ΧΡΙΣΤΙΑΝΟΥ ΦΙΛΙΠΠΟΥ ΛΕΥΤΟΥΕΙΝΙΟΥ,

Οὐερθεμίου Φράγκου,

Ἐνιαυτῷ τοῦ γεννηθέντος Σωτῆρος χιλιοστῷ, ἑξακοσιοστῷ, ἑβδομηκοστῷ τρίτῳ, μηνὸς Φεβρουαρίου ἡμέρᾳ δεκάτῃ τετάρτῃ.

---

Τύποις ΕΡΡΙΚΟΥ ΜΕΙΗΡΟΥ, τοῦ τῆς Ἀκαδημίας Τυπογράφου.

Ad Bibl. Acad. Lund.

1673.

# VIRIS
*ADMODUM REVERENDIS, AMPLISSIMIS, ATQUE EXCELLENTISSIMIS,*

## DN. JUSTO JACOBO LEIBNIZIO,
Ædis Sebaldinæ Antiſtiti Religioſiſſimo, & Bibliothecæ Præfecto Graviſſimo.

## DN. DANIELI WULFERO,
Ad D.Laurentii Eccleſiaſtæ Vigilantiſſimo, Log. Phyſ. & Metaphyſ. P. P. Celeberrimo.

## DN. JOHANNI FABRICIO,
In Æde B. Virginis Verbi divini Præconi Fideliſſimo.

## DN. MARTINO BEERIO,
Ad Spir. S. Concionatori Digniſſimo, Philoſophiæ Practicæ & Geographiæ P. P. Famigeratiſſimo.

## DN. CONRADO FEUERLINO,
Paſtori ad D. Jacobi Vigilantiſſimo.

*ET*

## DN. ANDREÆ UNGLENCKIO,
Ad D. Laurentii Diacono Meritiſſimo.

***DOMINIS, PATRONIS, ET FAUTORIBUS SUIS,***

*Obſequiosâ animi veneratione ætatem colendis,*

Paſſionale hoc Meleterna de CHRISTO JESU CRUCIFIXO, quem ſummâ παῤῥησίᾳ in Eccleſiis ſuis prædicant, ut debitæ Obſervantiæ τεκμήριον, conſecrat & offert

CHRISTIANUS PHILIPPUS Leutwein/ Francus.

Univ. Bibl. München

PROGRAMMA.

# CHRISTOPHORUS MOLITOR, P.P.

## B. L. S.

AD Servatoris nostri lugubre quidem, sed triumphale lignum, postquam lætis supplicationibus beatissima illius incunabula salutavimus, incerti majori ne dolore an gaudio provolvimur. Ecquis enim nisi silex aut rupes non diffluat largissimo lacrymarum imbre, si diei illius recordetur, quo humani generis Salus cruci affigitur, Majestasq; Domini nostri, sannis excipitur, Innocentia inter sceleratos habetur, Justitia perversitatis, Pax perduellionis, Clementia seditionis arguitur? Ecquis gemitibus planctibusque frena concedere liberrima tergiversetur, quoties animum saucium subit memoria infamis & criminum nostrorum recordatio funesta, quæ tantos cruciatus tamque inexplicabiles angores DEO nostro peperit, quantos nec hoc universum sine publico luctu, nec terra sine trepidatione, nec petræ sine difficultate, nec velum sacrosanctum sine conscissura, nec Luna sine deliquio, nec stellæ sine fuga, nec montes sine motibus, nec fundamenta sine commotione, nec tumuli sine reconditorum ejectamento ferre potuerunt? O funestum illum salutis nostræ natalem! O diem sine pari luctuosum, sine exemplo lamentabilem, qui omnium Tragicorum spectaculorum compendium, quotquot inde à primis temporibus ad postremam sui solutionem aut vidit aut unquam orbis est visurus, repræsentat! At enim verò cur dolemus de Duce felicitatis nostræ tam egregio? de Rege pro incolumitate publica tàm solicito? de Triumphatore tàm excelso? qui præliatus contra infestissimi mundi delicias, contra carnis nostræ sævitiam, contra furiosi Satanæ machinationes, non sibi, sed nobis victoriam peperit sine metu certissimam & sempiternam. Unde quo nomine Te salutemus, O JESU! Prophetæ? qui nos cœlestia docuisti. Es quidem Propheta, sed aliis longè ex-

cellentior. Sacerdotis? non tantùm summus es, sed ipsa porrò victima. Ducis? Imperatoris? vicisti mundum, vicisti carnem, vicisti dæmonem! Regis? O Rex noster, qui liberas, qui defendis, qui præscribis, qui ad serenissima deducis æternitatis Palatia. Regiæ quidem Tuæ Majestati illusit cœca tribulium tuorum impietas; ut nostræ nobis impietatis fragilitas condonaretur: illis autem impietatis istius luctus carè constabit. Elegerunt Te Fratres tui ad vincula; ut nos liberaremur: illi autem æternum vincientur. Coronarunt spinis; ut nos corona maneret cœlestis: illi autem flexuosis tenebrarum densissimarum spinis involventur, & pungentur acutissimis. Exceperunt sputo; ut abesset à nobis ignominia: illos autem perpetua conspuet infamia. Acclamarunt, Crucifige; ut nos viveremus: illi autem æternis tormentis hærebunt affixi. Tandem suspenderunt; ut sublimes viveremus beati: illi autem tartareis inclusi tenebris cœlesti curia penitus excludentur. Sic porrò fiducia nostra illorum illudet contemtui; cùm visuri sunt Te de cœlo descendentem cum geniorum sanctissimorum comitatu tanquam Triumphatorem Regem. Hic autem Judæorum furor & ludificatio movit juvenem pietati & amori Christi deditum *Per-Eximium atq; Doctissimum* DN. CHRISTIANUM PHILIPPUM Leutwein/ *Werthemiâ-Francum, SS. Theol. Studiosum & Philosophiæ Candidatum dignissimum*, ut altiùs DEUM suum tanquam in ipsa Passione verum Regem aspiceret, & ludibria tàm impiæ gentis Græcâ oratione exprimeret, atq; publicè tanquam in Theatro, antequam ab Universitate nostra, in qua ad biennium laudabiliter vixit, exhiberet. Quod dum facere studet, me interprete

*Magnificum* DOMINUM RECTOREM,
*Illustriss. & Generosissimum* DN. COMITEM,
*Excellentissimos* DNN. PROFESSORES,
*Nobiliss. atq; Doctissimos* DNN. STUDIOSOS,

eâ, quâ est erga ipsos observantia atque humanitate rogat & invitat, velint cras hora IX. matutina in Auditorio Theologico præsentia sua honorifica & gratiosa actum hunc condecorare & confluxu suo celebrare. Quod beneficii & officii testimonium ex grato Ipsius pectore nunquam labetur. VALETE. *P.P. d. 14. Febr.* A.C. *cIↃ IↃc LXXIII.*

ΣΥΝ

# ΣΥΝ ΘΕΩ, ΤΡΙΣΑΓΙΩ,!

Ἀλεξανδρεῖς, οἱ ἐν Αἰγύπτῳ, ἄνθρωπόν τινα, Καραβᾶν (a) λεγόμενον, μαλακωτέραν μανίαν μεμηνότα, Ἡρώδην Ἀγρίππαν σκώπτοντες καὶ καθυβρίζοντες, παρασήμοις βασιλικοῖς ἐκόσμησαν, καὶ, ὥσπερ ἐν θεατρικοῖς μίμοις ἔθος, εἰς βασιλέα, τῷ Ἀγρίππᾳ ἀντίζηλον, οὕτω μετεμόρφωσαν. Συνελάσαντες τὸν ἄθλιον ἄχρι τοῦ γυμνασίου, καὶ, ἵνα καθορῷτο πρὸς πάντων, στήσαντες μετέωρον, βύβλον εὐρύναντες ἀντὶ διαδήματος ἐπιτιθέασιν αὐτοῦ τῇ κεφαλῇ, χαμαιστρώτῳ δὲ τὸ ἄλλο σῶμα περιβάλλουσιν ἀντὶ χλαμύδος, ἀντὶ δὲ σκήπτρου βραχύ τι παπύρου τμῆμα τῆς ἐγχωρίου καθ' ὁδὸν ἐρριμμένον ἰδών τις ἀναδίδωσιν, ἐπεὶ δὲ, ὡς ἐν θεατρικοῖς μίμοις, τὰ παράσημα τῆς βασιλείας ἀνειλήφει, καὶ διεκεκόσμητο εἰς βασιλέα, νεανίαι ῥάβδους ἐπὶ τῶν ὤμων φέροντες, ἀντὶ λογχοφόρων ἑκατέρωθεν εἱστήκεσαν, ὡς βασιλέως τοῦ νέου φυλάξαντες τὰ πλευρά· οἱ μὲν ὡς ἀσπασόμενοι, οἱ δὲ ὡς δικασόμενοι, οἱ δ' ὡς ἐντευξόμενοι περὶ κοινῶν πραγμάτων· μηδὲ θεατῶν δίκην ὑπηκόων ἐστίγα ὄχλος, βοῇ ἀτόπῳ ἀποκαλῶν ΜΑΡΙΝ, ΜΑΡΙΝ, τουτέστι παρὰ Σύροις, Κύριον, Κύριον. Ἀλλά γε ταύτην σχήματι τοῦ μανικοῦ τῷ Ἀγρίππᾳ ἐξουθένησιν γινομένην μέγα θαυμάζω; αὐτῷ οὐκ ἀδίκως τάχα συμβαινοῦσαν, διὰ τὸν τύφον, ᾧ κατείχετο. Ἐπειδὴ γάρ ποτε ἐν τῇ Καισαρείᾳ (b) ἐπὶ τοῦ θρόνου καθίσας, ἐσθῆτα ἀμφιεσμένος ὅλην ἐξ ἀργύρου κατὰ τέχνην κάλλιστα ὑφασμένην, καὶ Ἡλίου ἀνατέλλοντος ἀκτῖσι πεφωτισμένην, καὶ οὐράνιόν γε σέλας ἀστράπτουσαν, οὕτως ἐφυσιώθη, ὡς οὐρανοῦ μετασχεῖν καὶ εἰς Θεοὺς ἀνάγεσθαι οὐκ ἐπηχιώθη. Ἐν γὰρ τῷ δημηγορῆσαι ὑπὸ τοῦ δήμου καὶ τῶν παρασίτων θεὸς ἀπηγορεύθη. Δι' ὃ θεόθεν ἐπατάχθη, καὶ ἀνθ' ὧν οὐκ ἔδωκε τὴν δόξαν τῷ Θεῷ, γινόμενος σκωληκόβρωτος, ἐξέψυξε. (c) Τίς ταύτην κακόσχολον ματαιότητα οὐκ ἐκκαγχά-



(a) *Philo lib. in Flaccum, p. 751. operum ejus.* (b) *Joseph. A. J. XX, 7.* (c) *Act. XII. v. 23.*

ζῇ; ἄνθρωπον θνητὸν, ἁμαρτωλὸν ὄντα, ἀλαζονικῶς ἐπαίρεσθαι, τίς εὐγνωμόνως φέρειν δύνηται; Μᾶλλον ἐγὼ τὴν ἄμετρον καὶ ἀνάξιον τῷ Χριστῷ πάσχοντι γινομένην ἐξουθένησιν θαυμάζω καὶ ἀποτρέπομαι. Ἰουδαῖοι γὰρ τοῦ Χριστοῦ μεγίστῳ μίσει φλεγμαίνοντες, εἰ μὴ κατὰ πάντα ἴσον, κατὰ τὰ πλείονα σφοδρότερον μετ' αὐτοῦ ἔπαιξαν μῖμον. Τίνες; φῂς οὗτοι, καὶ μετὰ τίνος; Ἰουδαῖοι μετὰ Χριστοῦ, μεγαλοπόνηροι μετ' ἀξιοπίστου καὶ ἀκεραίου, κτίσματα μετ' αἰωνίου τοῦ αἰωνίου Θεοῦ υἱοῦ, ἀνδράποδα ἀτίμητα μετ' ἐλευθερίας αὐτῶν ἐκδικητοῦ, ἀλλὰ δὴ οἱ ἔσχατοι καὶ κατεγνωσμένοι μετὰ φιλανθρώπου τῶν ψυχῶν ἑαυτῶν λυτρωτοῦ. Ὁ Καραβᾶς παπύρινον στέφανον ἐν κεφαλῇ ἔφερεν, ἀκάνθινον ὁ Χριστός. Καραβᾶς δεξιᾷ εἶχε τμῆμα παπύρου, κάλαμον ἡ δεξιὰ τοῦ Χριστοῦ εἶχε. Χαμαίστρωτον τοῦ Καραβᾶ ἦν χλαμὺς, τοῦ δὲ Χριστοῦ χλαμὺς, πεπαλαιωμένος καὶ κόκκινος χιτών. ΜΑΡΙΝ ἐπευφημοῦντες ἐβόων τῷ Καραβᾷ, τῷ δὲ Χριστῷ, ΧΑΙΡΕ ΒΑΣΙΛΕΥ. Δίκας παρὰ τοῦ Καραβᾶ, παρὰ δὲ τοῦ Χριστοῦ, ὡς προφήτου, χρησμοὺς ἀπῄτουν. Ὦ οὐρανέ! διά τι ἀθέμιτα τάδε καὶ Γεέννης ἄξια ἀπεργαζομένοις φῶς παρεῖχες; ὦ γῆ! διά τι ἀσεβεῖς τούτους χανοῦσα οὐ κατέπιες; Τὴν ἄδοξον ταύτην, καὶ Ἰουδαίοις καὶ ἔθνεσιν ἀπίστοις ὀλεθρίαν, τοῖς δὲ λοιποῖς ἀνθρώποις λίαν σωτηριώδη ἀνάδειξιν, ἣν Χριστὸς, βασιλέα ἑαυτὸν λέγων, ἐμπαίχθη, καὶ εἰς κατεγέλωτα ἐγενήθη, μετὰ τῶν κοσμικῶν καὶ βασιλικῶν παρασήμων, δημοσίᾳ ὡς ἐν θεάτρῳ ὑμῖν, Ἀκροαταὶ Ἐνδοξότατοι, παραστῆσαι τῷ καιρῷ, οὗ περὶ τοῦ Χριστοῦ σταυρωθέντος Ἐκκλησία ἡ Χριστιανὴ εὐσεβείας καὶ ὠφελείας ποιεῖ δημηγορίας, λατρεύσων ἐπιχειρήσω. Ὑμᾶς δὲ, ὦ Ἀκροαταὶ, ἐν τῷ ἀκούειν φιληκόους ἔσεσθαι, ῥᾳδίως πέπεισμαι, ὅτι ὕλης ταύτης τὸ ἄξιον, πάντων θελκτηρίων ἐπεισάκτων ἄμοιρον, ἑνὸς ἑκάστου ἀγαθόφρονος νόον κινεῖν καὶ κατέχειν δύναται. Διότι καθίζετε, Ἀκροαταὶ, καὶ τὸν ἐνθρονισμὸν τοῦ Βασιλέως πάντων τῶν Ἐθνῶν, μετ' ἐμοῦ σπουδαίως θεωρεῖτε.

Οὐδέποτε ὁ Χριστὸς, ὅτι Βασιλεύς ἐστιν, ἠρνήσατο, θεάνθρωπος ὢν, οὔτινος θεότητα εἰ ἐννοεῖς, υἱός ἐστιν αἰωνίου τοῦ Πατρὸς, Βασιλέως τῶν Βασιλέων καὶ Κυρίου τῶν Κυριευόντων· εἰ φύσιν ἀνθρωπίνην, ἐκ βασιλικοῦ τοῦ Δαβὶδ σπέρματος ἐγεννήθη, καὶ οὕτω κατὰ τὴν εὐγένειαν ἐκ τῶν προγόνων, τῶν Ἰουδαίων, κατὰ τὴν ἐξουσίαν δὲ καὶ αὐθεντίαν Ἑβραίων, Ἑλλήνων, καὶ Λατίνων, μᾶλλον καὶ ὅλου τοῦ κόσμου, Βασιλεὺς ἦν καὶ Κύριος. Βασιλέα δὲ ἑαυτὸν εἶναι κοσμικὸν, οὔπω διϊσχυρίζετο, μηδὲ βασιλείας ἐν τῷ κόσμῳ αὐτὸς ὠρέξατο, βασιλικῇ ἀξίᾳ οὔποτε ἐπέχαινε, καίπερ παρὰ τῶν φορτικωτάτων Ἰουδαίων τῆς σπουδαρχίας καὶ φιλοτιμίας ταύτης αἰτίαν ὑπομεμένηκε, καὶ ὡς ψευδοβασιλεὺς σχήματί τινι, βασιλέα ὑποκρίνοντι, ὑβριστικῶς περιεβάλετο. Ἀλλὰ φέρε ἀκούωμεν ἕκαστα, πρὸς ἀνάδειξιν βασιλέως κοσμικοῦ βλέποντα, καὶ τῷ Χριστῷ, ὥσπερ ἀφ᾽ ἑαυτοῦ ἐκλεκτῷ καὶ ψευδῶς λεγομένῳ βασιλεῖ, ἁρμοσθέντα.

Πιλάτος, ἐπὶ τοῦ βήματος καθίσας, τῷ λαῷ Ἰουδαϊκῷ, μάλιστα τοῖς ἀρχιερεῦσι καὶ πρεσβυτέροις, δύω ἀνθρώπους ἵστησιν, αἵρεσιν διδοὺς, πότερον ἂν ἐξ αὐτῶν ἐκλέγειν βούλοιντο; τῆδε μὲν Χριστὸν, ἁπάντων ἀθωότατον, ἀγαπητὸν τοῦ Θεοῦ υἱὸν, Αὐτόθεον· τῆδε δὲ ἐπίσημον στασιώτην, τῶν ἀποστατῶν Κορυφαῖον, Βαραββᾶν λεγόμενον. Ἰουδαῖοι, ἐνισταμένου Πάσχατος (τοῦτο γὰρ τῇ λέξει τῆς (a) ΕΟΡΤΗΣ σημειοῦται, ὡς ἑορτὴ, τῶν λοιπῶν ἀρχὴ καὶ πανηγύρεων κυριωτάτη, κατὰ τὸ ἔθος (b) τῆς γραφῆς) ἐν ᾧ αὐτοῖς εἰθισμένον ἦν, τῶν κατηγορουμένων ἕνα ἐκ δεσμῶν ἀφιέναι, ἐξουσίας τῆς ἐκλογῆς γενομένης, ἐκλέγουσιν, κατὰ συνήθειαν, ἧς αὐτοὶ ἦσαν αἴτιοι, ἢ, ὅτι δύναμιν εἶχεν ἀναγκαστικὴν, ἐν τῷ λαῷ Ἰουδαϊκῷ ταῦτα τὰ ἤθεα καὶ παραδόσεις ἀμεταπτώτως τηρεῖσθαι, ἢ ὅτι κέλευοντος τοῦ Καίσαρος, (c) ὥστε δουλείαν μαλάττεσθαι, ἣν βεβαιωμένην, ἐκλέγουσιν, φημὶ, οὐ μὲν εἰς ἐλευθερίαν, ἀλλ᾽ εἰς ἐσχάτην καὶ θανατικὴν τιμωρίαν, ΧΡΙΣΤΟΝ τὸν ἀναμάρτητον, ὅλης τῆς Ἰουδαίας Ἀρχίατρον, καὶ ΕΚΛΟΓΗ.

(a) *Jansen.p.4. Concord.p.251.* (b) *Marc.XIV,2. Luc.II,42. Joh.IV,45.* (c) *D.Henr.Müller. Jes.Pat.p.96.*

καὶ εὐεργέτην ἄριστον μέγιστον. Ὦ τῆς κακίστης! ὦ τῆς καταράτου καὶ μήποτε ἀναπολογήτου ἐκλογῆς! Σωτηρίαν γὰρ τῶν ψυχῶν ἡμῶν ἐν ἐκλογῇ ταύτῃ παρασκευασθῆναι, Ἀκροαταὶ, οὐκ ἀγνοεῖτε· οὗτος ὁ ΒΑΡΑΒΒΑΣ (a) ὅλον τῶν ἀνθρώπων γένος, κατ᾿ ἐμοῦ κρίσιν, αἰνίττεται. Ὡς γὰρ αὐτῷ, διὰ τὴν λῃστείαν καὶ φόνους περιβοήτῳ, δίκαιον ἦν ἀποθανεῖν, ἐὰν μὴ τῷ τοῦ Χριστοῦ θανάτῳ ἐλευθερῶται· οὕτως οἱ ἄνθρωποι αἰώνιον θάνατον ἂν κατακριθείησαν, ἐὰν μὴ θανάτῳ αὐτοῦ ὁ Χριστὸς ἐκείνους ἐξαρπάσειεν.

**ΑΝΑΡΡΗΣΙΣ.** Βασιλέως ἐκλογῇ κοσμικοῦ ἡ ΑΝΑΡΡΗΣΙΣ ἕπεται, ᾗ ὁ ἐκλελεγμένος διὰ δημοσίας (b) ἀνακηρύξεως παντὶ τῷ λαῷ ἀναγορεύεται, λαὸς γὰρ ἐπευφημίαις καὶ ἀλαλάγμασιν ἀνταποκρίνεται. Οὕτω Λεόπολδον, (c) τὸν νῦν Αὐτοκράτορα μεγαλοδοξότατον, ὁ Ἀρχιεπίσκοπος τῆς Κολωνίας Ἀγριππινῶν ἀνηγόρευσε. Κάρολον τὸν Μέγαν λαὸς Ῥωμαίων τόνδε τὸν τρόπον ἠσπάσατο. (d) ΚΑΡΟΛΩι ΣΕΒΑΣΤΩι, ΘΕΟΣΤΕΠΤΩι, ΜΕΓΑΛΩι, ΚΑΙ ΕΥΣΕΒΕΙ ΑΥΤΟΚΡΑΤΟΡΙ ΡΩΜΑΙΩΝ, ΖΩΗ ΚΑΙ ΝΙΚΗ! ποία ἄρα ἡ ἐπωνυμία, ᾗ ὁ Βασιλεὺς ἡμῶν ἀνεκηρύχθη; ΣΤΑΥΡΩΣΟΝ, ΣΤΑΥΡΩΣΟΝ, κακοῦργος οὗτός ἐστι, ψευδοπροφήτης ἐστὶν, αἱρεσιάρχης ἐστὶ, βλάσφημός ἐστιν, ὃς αὐτοπροαιρέτως βασιλείαν ἑαυτῷ ἀπονέμειν οὐκ ἐπῃσχύνθη. Πιλάτος κρατήσας τῇ χειρὶ τὸν Χριστὸν προάγει, καὶ ἔμπροσθεν τοῦ λαοῦ ἵστησιν, ἵνα τῶν Ἰουδαίων ἀγριότητα μαλάσσῃ, καὶ τὸ μῖσος πραΰνῃ. Ἀλλὰ τί οὖν; αὐτῶν ἡ μανία οὕτως ἀχαλίνωτός ἐστιν, ὥστε ἀντὶ τῆς ἐπωνυμίας ἐν ἀναδείξει εἰθισμένης, ΖΗΤΩ Ο ΒΑΣΙΛΕΥΣ ΖΗΤΩ! θάνατον τοῦ Βασιλέως προαιροῖντο, τὸ ΣΤΑΥΡΩΣΟΝ συνεχῶς βοῶντες καὶ παλιλλογοῦντες. Παπαὶ, ὡς ἀμείλιχος καὶ θηριώδης ἡ τῶν Ἰουδαίων λύσσα ἐστὶν, οὐδενὸς τοῦ Ἰησοῦ ὑπερασπίζοντος! Ἕκαστος καθ᾿ δύναμιν θάνατον τούτῳ τῷ Βασιλεῖ ἐπινοεῖ, καὶ οἱ δαιμονόληπτοι Ἰουδαῖοι μηδὲν ἄλλο φρονοῦσιν ἢ πράττουσιν, ἢ ὅτι θάνατον τῷ Βασιλεῖ ἡμῶν ἑτοιμάζει καὶ ἐπείγει.

Βύσ-

(a) *Scriban. in Passion. Dom. p. 191.* (b) *Godfried de Jena Dissert. de Elect. Imperat. Dissert. 5. §. 10.* (c) *Diar. Europ. p. 939.* (d) *Sigon. de Regim. Ital. l. 4.*

ΕΣΘΗΣ ΒΑΣΙΛΙΚΗ.

Βύσσος καὶ πορφύρα, βασιλικὸν πάλαι εἷμα ἐγένετο. Χιτὼν λαμπρὸς ἐκ σηρικοῦ λευκοῦ ἐν τοῖς Ῥωμαϊκῆς Ἀρχῆς λειψάνοις (a) παρὰ τῆς Νωριμβέργας, Μουσῶν καὶ γραμμάτων τροφοῦ καλλίστης, φυλάττεται. Βασιλέως ἡμῶν ἐσθὴς βασιλικὴ λαμπρὸν ἔχει χρῶμα καὶ πορφυροῦν. Ἡρώδης γὰρ Χριστὸν, πρὸς αὐτὸν σταλέντα, λαμπρὰν ἐσθῆτα ἐστολισμένον, Πιλάτῳ ἀντέστειλεν. Αὕτη ἡ ἐσθὴς πότερον τετριμμένη, ἀποβεβλημένη, ἢ, καθὼς ἄλλοι ἐκ τῆς λέξεως ἑλληνικῆς ΛΑΜΠΡΑΣ στοχάζονται, καλὴ, στιλπνὴ, καὶ λευκότητα ἀστράπτουσα ἦ, (b) ἑρμηνευταὶ διχογνωμονοῦσιν. Ἔστω, ὁποιοῦν ἐστι. Λαμπρὰ ἐσθὴς, ἣν κακόφρονος τοῦ Ἡρώδου κελεύοντος Χριστὸς ἐστόλισται, αὐτὸν Θεὸν, Βασιλέα, Ἀρχιερέα, Πηγὴν Χαρᾶς, καὶ ἐλευθερίας ἀρχηγὸν, Θεοῦ οὕτω προορῶντος, ἀνέδειξε· λευκὸν γὰρ χρῶμα ἢ λαμπρὸν πάντων τῶν λεγομένων ἀξιωμάτων χαρακτήρ ἐστι καὶ σύμβολον. Τίς εἰ μὴ ἰδιώτης καὶ ἀγράμματος ἀγνοεῖ (c) χρῶμα λαμπρὸν καλλώπισμα τῶν Θεῶν λέγεσθαι; Βασιλεῦσιν ἀρχαίοις τὰς λευκὰς ἐσθῆτας λίαν ἠρεσκέναι, ἐκ τῆς Γενέσεως (d) γινώσκομεν, ἣ μὲν ἐν (ef) τέσσαρσι τῆς τῶν Αἰγυπτίων βασιλείας παρασήμοις ἐσθὴς λαμπρὰ ἀριθμεῖται. Ἐν θεάτροις, συμποσίοις, καὶ παντοδαποῖς ἀγῶσι παλαιοῖς ἡ λευκότης λίαν εὐδόκησε. (g) Λαμπρᾷ στολῇ οἱ τῶν Ῥωμαίων δοῦλοι παρὰ τῶν Κυρίων δεδωρημένοι ἀπελεύθεροι ἀφέθησαν. Τέλος, τοὺς ἐν τῷ Πρυτανείῳ (h) Ἀθήνησι θύοντας λευχειμονῆσαι, καὶ θυσίας θυσιασθῆναι λευκὰς, ἐκ τῶν ἱστοριῶν φανερὸν γίνεται. Καὶ ἔτι, κατὰ τὴν δόξαν μου, ἡ ἀκακία τοῦ Χριστοῦ μᾶλλον ἐν σχήματι λαμπρῷ δηλοποιεῖται, ὅτι χρῶμα τὸ λευκὸν πάλαι (i) σύμβολον ἦν τῆς ἀπολύσεως, ὥσπερ τὸ μέλαν τῆς καταγνώσεως. Ἰδοὺ, ἡ Βύσσος! Νῦν δεικνύσω ὑμῖν, Ἀκροαταὶ, τὴν ΠΟΡΦΥΡΑΝ, ἢ διὰ τὸ χρῶμα πυῤῥὸν καὶ αἱματῶδες (k) τῆς δυνάμεως

B βασι-

(a) *Dn. D. Cregel, Disp. de Infulis* & *Lipsanis Imperii.* (b) *Disp. Dn. M. Francke de Veste Christi* λαμπρᾶ *§.6.7.8.9.* (c) *Cic. l.II. de leg.* (d) *Gen. XLI, 42.* (e) *Conf. Sopranes digr. 1. de re vest. Jud. Disp. 3. c. 5. §. 3.* (f) *Luth. Comm. in Gen. c. 36. f. 492.* (g) *Val. Max. II, 1. Neub. Th. ing. hum. p. 2. p. 79.* (h) *Casaub. Exerc. 16. c. 73.* (i) *Scriban. l. c. p. 177.* (k) *Alex. ab Alex. Gen. Dier. V, 18. p. 284. b. 285. a.*

βασιλικῆς, βίου καὶ φόνου ἐξουσίαν ἐσήμανεν, διδάσκοντος οὕτω τοῦ Σολομῶντος (a) καὶ βασιλέως τῶν Νινευιτῶν. (b) Πορφύραν δὲ λαμβάνειν, ταυτὸν ἦν, ὃ βασιλείαν ἁρπάζειν. (c) Οὕτω καὶ ὁ Χριστὸς, ὡς βασιλεὺς, ἐξουθενισμοῦ ἕνεκα πεπαλαιωμένην καὶ πορφυροειδῆ χλαμύδα, οἵαν οἱ στρατιῶται τῶν Ῥωμαίων φέρειν εἰώθασι, περιεβάλετο, οὐ μὴν ἐξ ἀληθινῆς πορφύρας συνυφασμένην, ἀλλ᾽ ἢ ἐν μέρει τῆς πορφύρας γέγονε. Καὶ τί κωλύει, ταύτην τὴν χλαμύδα νῦν μὲν κοκκίνην, (d) νῦν δὲ πορφύραν καλεῖσθαι; Ἀπόχρη γὰρ (κατὰ τὸν Σαλμάσιον) τοῖς Εὐαγγελισταῖς, πρὸς τὴν ἀλήθειαν διδάσκειν, ἐσθῆτα ἀγλαόχροον μυκτηρισμοῦ ἕνεκα Χριστῷ ἐμβεβλῆσθαι, ἣν ἄλλοι μὲν κοκκίνην, ἄλλοι δὲ πορφύραν ἔλεγον, ὅτι δύο τάδε χρώματα ἐν εἵμασιν ὑπερέχουσιν.

ΧΡΙΣΜΑ. Ἀλλὰ νῦν, ὦ Ἀκροαταὶ, ἵσταται ἔμπροσθεν ἡμῶν ὁ Βασιλεὺς τῶν Ἰουδαίων, βύσσον καὶ πορφύραν περιβεβλημένος! Βλέπετε καὶ μετ᾽ ἐμοῦ αὐτοῦ τὸ ΧΡΙΣΜΑ. Τοὺς Βασιλεῖς γὰρ ἐν τῇ παλαιᾷ διαθήκῃ ἐλαίῳ τινὶ κεχρίσθαι, καὶ τοὺς σήμερον Βασιλεῖς κοσμικοὺς καὶ περὶ πάντων τῆς Γαλλίας χρίσματι χρίεσθαι, μαρτυροῦσιν αἱ ἱστορίαι. Ὁ Βασιλεὺς τῶν Ἰουδαίων ἐχρίσθη ἐλαίῳ πορφυρέῳ, αἵματι ἤγουν ἰδίῳ, ὃ ἐν τῇ βαρείᾳ καὶ φοβερᾷ μάστιξι ἐκ τοῦ σώματος ἁγιωτάτου ἐκθλιφθὲν πάντα τὰ μέλη αὐτοῦ κρουνηδὸν κατέκλυσε. Τάχα που τοῖς Ἰουδαίοις ἡ ἰδία μάστιξις ἐδόκει εἶναι τοῦ δέοντος μαλακωτέρα εἶναι; Κατὰ τὸν νόμον γὰρ τοῦ Θεοῦ οὐκ ἐξὸν ἦν, τὰς πληγὰς ἐπέκεινα τεσσαράκοντα ἐκτείνειν. Ὑπὸ τῶν ἐθνικῶν ἢ Ῥωμαίων μαστιχθήσεσθαι τὸν Χριστὸν, αὐτὸς ὁ Σωτὴρ (e) τηλαυγῶς ἐσθ᾽ ὅπου ἐδείκνυεν. Ἀλλ᾽ οἱ Ῥωμαῖοι, οὐδένα ἀριθμὸν ὁρίζοντες, ὑπὲρ μέτρον καὶ ἄχρι τοῦ θανάτου τοὺς κατακρίτους εἰώθασι πλήττειν. Κατὰ γὰρ τὸν Μεύρσιον, ὀκτὼ ῥαβδοῦχοι περὶ τοσαύτην καὶ χρονίζουσαν (δι᾽ ὅλης τῆς νυκτὸς πολλάκι γινομένην) μάστιξιν παρελαμβάνοντο, οἱ κατηγορουμένον τῇ στήλῃ (ἥτις ἄχρι τοῦ ὀμφα-

(a) *Cant. VII, 5.* (b) *Jonæ III, 6.* (c) *Quomodo purpura à cocco differat, v. ap. Müll. Jes. Pat. p. 108.* (d) *Joh. Blomius Dissert. de Cocco & Purp. p. 136. Panciroll. cum notis Salmuthi p. 1. p. 392.* (e) *Matth. XX, 18, 19. Marc. X, 39, 40. Luc. XIIX, 22, 33.*

φαλοῦ (a) μόνον καθήκουσι ὅλον τὸ σῶμα ἑκασταχόθεν ταῖς πληγαῖς ἐξετίθετο) προσδέοντες, γυμνὸν ἀδιαλείπτως ἐμαστίγωσαν. Ὢ δὲ τολμήματος! Ὢ δὲ ἀσεβήματος! Χριστὸν ἄκακον καὶ αὐτεξούσιον, καὶ αἰωνίας ἐλευθερώσεως λυτρωτὴν ἀνδραπόδῳ ἀτιμοτάτῳ ἰσοῦσθαι καὶ μαστιγοῦσθαι! (b) Δούλους γὰρ μόνον μαστιγοῦσθαι θέμις ἦν, τῶν πολιτῶν ἢ Ῥωμαίων (c) ταύτης τῆς τιμωρίας ἐξάντων ὄντων. Καὶ μαστιγοῦσθαι οὐ μὲν ῥάβδοις (κατά τινας) ἀλλὰ καὶ ἐνέργειαν τῶν λέξεων, ΜΑΣΤΙΓΟΥΝ καὶ ΦΡΑΓΕΛΛΟΥΝ, φραγελλίοις κεκεντρωμένοις, κέντρων ἐμπήκτων καὶ πάλιν ἀνασπαστῶν γινομένων, (d) σπαράττεσθαι, ὥστε ὅλον τὸ σῶμα αὐλακισθῆναι καὶ διατετρῆσθαι. Πόσοις δὲ τραύμασιν; Λέγουσι μέν τινες (e) ἐκ τῆς Βριγίττας ἀποκαλύψεως, ὑπὲρ πεντακισχίλια τραύματα γεγονέναι. Ἐγὼ οὐδὲν ὁρίζω, διὰ τὴν σιγὴν τῶν ἁγίων γραμμάτων, καὶ τὸ ἔθος τῶν Ῥωμαίων, οἳ τὰς ἐν τῇ μάστιγι πληγὰς ἀριθμεῖν οὐκ εἰώθασι.

Στρέφετε νῦν, ὦ Ἀκροαταὶ, ἀπὸ λυθροσταλάκτου τοῦ Βασιλέως ἡμῶν σώματος ὀφθαλμοὺς πρὸς τὸν παρόντα, ὃν ὑμῖν δεικνύω, ΣΤΕΦΑΝΟΝ, ἁγιωτάτῃ τῇ κεφαλῇ αὐτοῦ ἐπιτεθειμένον. ΣΤΕΦΑΝΩΣΙΣ. Βασιλικῆς γὰρ μεγαλειότητος ὁ στέφανος παράσημον παμπάλαιον, ὥστε τοὺς προμάντεις (f) ἐξ αὐτοῦ ὄλεθρον τῆς βασιλείας εἰκάζεσθαι. Ὁ δὲ Βασιλέως ἡμῶν στέφανος δυσέκφραστός ἐστι. Μορφὴν γὰρ αὐτοῦ βλέποντί μοι φρίκη συναντᾷ καὶ τρόμος, καὶ μεγάλως μου τὰ ὀστᾶ διασείονται, φρίττουσι δὲ τρίχες μου καὶ σάρκες, ἐπεὶ ὅλως ἀκάνθινός ἐστιν, ἐκ ΛΕΥΚΑΚΑΝΘΗΣ συνεστραμμένος καὶ συμπεπλεγμένος, ἣν μὲν τοῦ στεφάνου τούτου ὕλην εἶναι οἱ σοφοὶ πιστεύουσι. Καίπερ ἐκείνη οὐκ ἐκ τῶν θάμνων καὶ δενδρυφίων, ἀλλ᾽ ἐκ γένους τῶν βοτανῶν ὑπάρχει, ὅμως κεντρωτὰς ἔχει ἀκάνθας, ὥστε εὐκόλως χρῶτα τῆς ἁγίας κεφαλῆς τοῦ Χριστοῦ περαίνειν. Καὶ μὲν εὐκοπώτερον, φυτὸν ἀκάνθινον εἰς στεφάνου εἶδος πλέκεσθαι, ἢ θάμνον. Περὶ δὲ ἀριθμοῦ τῶν ἀκανθῶν, (g) πό-



(a) *Lips. de Cruce, II, 4.* (b) *Sveton. in Neron. c. 49. Rosin. A.R. l. 8. p. 132.* (c) *M. Joh. Ernest. Büttner Disp. de Civitate Romana virgidemiis exemta.* (d) *Clasen Meditat. Passion. p. 1904.* (e) *Gerhard. Harm. p. 1904.* (f) *Polyd. Virg. l. 23. Hist. Dn. D. Cregel. l. c. §. 45.* (g) *D. Christ. Sagitt. Disp. de Coron. Chr. spinea, §. 66.*

τερον ἑβδομήκοντα καὶ ἑπτὰ, πᾶσαί τε τριγλώχινες ὦσιν, καὶ πότερον κατὰ τὸν Οὐιγκέντιον ἑβδομήκοντα καὶ δυσὶ τραύμασι ἡ κεφαλὴ τοῦ Κυρίου διατέτρηται, οἱ σοφώτεροι κρινέτωσαν. Μᾶλλον τὸ μυστήριον, ὃ ἡ στεφάνωσις ἡ ἀκανθίνη αἰνίττεται, ἐξηγήσεως ἄξιόν ἐστι. Καθὼς γὰρ ἐν τῇ Ἀγγλίᾳ ἡ Νεονύμφη (a) ἀκανθίνῳ στεφάνῳ στεφανοῦται, ἢ τοὐλάχιστον αὐτὸν ἐν τῇ δεξιᾷ κομίζει· οὕτως ἐπιτηδείως τινὲς λέγειν δοκοῦσιν, εἰρηνοποιὸν ἡμῶν Σολομῶντα, Πατρὸς αὐτοῦ καὶ ἀνθρώπων διαλλακτὴν γεγονότα, διαδήματι ἀκανθίνῳ, ᾧ ἐστεφάνωσεν αὐτὸν ἡ μητρυιὰ μᾶλλον, ἢ μήτηρ, ἡ Συναγωγὴ Ἰουδαϊκὴ ἐν ἡμέρᾳ, ἐν ᾗ ἐγένετο ἡμῖν Νυμφίος αἱμάτων, ἁρμοσθῆναι ταῖς τῶν πιστῶν ψυχαῖς, εὐγενεστάτου αἵματος αὐτοῦ Νύμφαις ὑπαρχούσαις. Καὶ τάχα ἐναρμόστως ὧδε ἁρμόζει ἡ Λευκάκανθα, (b) ἐπεὶ τοῖς γάμοις καθιερωμένη φαιδρὰν τῆς συζυγίας ἑορτὴν ἐμαρτύρησεν. Ἰδοὺ, κρίνον ἐν μέσῳ ἀκανθῶν! Ἰδοὺ, ἐστεφανωμένον σφάγιον! ὡς καλῶς ἡ κατάρα, ἐν ἀκάνθαις ἀρχομένη, ἐν ἀκάνθαις ἀποτετέλεσται! Ἰδοὺ, μωρία τοῦ κόσμου, σοφία τοῦ Θεοῦ! Ἐν ἀκάνθαις δὴ ἐκείναις παντοδαποὶ οἱ στέφανοι, οἷς πάλαι οἱ νικηταὶ ἐθριάμβευσαν, ὑποτυποῦνται. Ἀκάνθινος ἐκεῖνος ὁ στέφανος, στέφανος θριαμβευτικός ἐστιν, ὅτι αὐτὸς ἀπεκδυσάμενος (c) τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, ἐδειγμάτισεν ἐν παῤῥησίᾳ θριαμβεύσας αὐτοὺς ἐν αὐτῷ. Ἔστι καὶ στέφανος πολιορκητικὸς, (d) ὅτι ἡμᾶς ἐκ τῆς τοῦ σκότους ἐξουσίας ἐῤῥύσατο. (e) Ἔστι στέφανος ἀστικὸς, ὅτι ἡμᾶς, πολίτας αὐτοῦ ὄντας, τῷ Διαβόλῳ καὶ τῷ κόσμῳ ἀντιστρατευομένους, ἔσωσεν αἵματι αὐτοῦ. Ἔστι στέφανος τειχικὸς, ὅτι πρῶτος εἰς ἐχθίστου τοῦ ᾅδου τείχεα ἀνέβη. Ἔστι στέφανος στρατιωτικὸς ἢ ἕρκειος. Στρατόπεδα (f) γὰρ τοῦ κρατεροῦ καὶ καθωπλισμένου Δαίμονος, ἐν εἰρήνῃ ὑπάρχοντα, ἐξεπολιόρκησεν. Ἔστι στέφανος ναυτικὸς. Πρῶτος γὰρ ὁ Χριστὸς τὸν κόσμον καὶ πολεμίας θαλάσσας οἷον νικηφόρος κατέπλευσε, πρῶτος τοῖς ἀνέμοις ἐπέταξε, πρῶτος ἄγρια τῶν ἁμαρτημάτων κύματα κατέστειλεν. Ἀλλὰ τί ἔτι φήσω περὶ τῆς ὕλης τῶν παλαιῶν στεφάνων ποικίλης, ἣν ὅλην τῇ στεφανώσει τοῦ Χριστοῦ ἁρμόζεσθαι ἱκανὴν εἶναι, Σκριβάνιος (g) ἐδήλωσε;

Ἐγὼ

(a) *Polyd. Virg. I, 4. de rer. Juv.* (b) *Marc. Empiricus c. 23. Sagittar. l. c. §. 52.* (c) Coloss. *II, 15.* (d) *Agell. V, 6. Noct. Att.* (e) *Eph. IV, 9.* (f) *Luc. XI, 21.* (g) *L. c. p. 268. &c.*

Ἐγὼ μᾶλλον ὑμῖν, ὦ Ἀκροαταὶ, τὸ Σκῆπτρον τοῦ βασιλέως προτείνω. Εἶναι δὲ σκῆπτρον ἀρχαιότατον μὲν τῆς ἀρχῆς παράσημον, (a) πᾶσιν ὡμολόγηται. Τόδε γὰρ Θεοὺς τοῖς βασιλεῦσιν ἐγχειρίζειν, ἐθνικοὶ ἐπίστευσαν. Ἀκούετε τοῦ Ὁμήρου, λέγοντος· ΣΚΗΠΤΡΟΝ.

(b) Εἷς βασιλεὺς, ᾧ ἔδωκε Κρόνου παῖς ἀγκυλομήτεω
Σκῆπτρόν τ' ἠδὲ θέμιστας, ἵνα σφίσιν βασιλεύῃ. Καὶ πάλιν·
(c) Σκηπτοῦχος βασιλεὺς, ᾧ τε Ζεὺς κῦδος ἔδωκε.

Τοῦτο τὸ Σκῆπτρον, ὁ ῥάβδος τῆς βασιλείας λέγεται, ἣν ἐκ κορμοῦ δρυὸς, (d) εἰς τὸ σημαίνειν τὴν βεβαιότητα τῆς βασιλείας. Ποῖον δὲ βασιλέως ἡμετέρου σκῆπτρον; Κάλαμος εὔθραυστος, δι' οὗ τῆς ἀρχῆς αὐτοῦ ματαιότητα καὶ ἀδυναμίαν ἐξωνείδισαν, καθὼς τὴν τοῦ Αἰγύπτου δύναμιν εὐθραύστῳ καὶ ἀσθενεῖ καλάμῳ ὁμοιοῦσθαι, ἡ ἁγία γραφὴ ἡμᾶς διδάσκει. Ὑμεῖς δὲ, ὦ Ἰουδαῖοι, ἐν παίγματι καὶ γέλωτι τὸ σκῆπτρον Χριστῷ ὀρέγοντες, ὡς ἀληθινὰ παραγγέλλετε; Φανερῶς γὰρ ὁμολογεῖτε, ὃ ἀρνεῖσθε. Βασιλέα, ὃν οὐ γινώσκετε, διὰ τοῦ σκήπτρου ἀναδεικνύετε, ῥήμασι μὲν ἀρνούμενοι, ἔργῳ δὲ βεβαιοῦντες, καὶ ῥήματα ἔργοις ἀθετοῦντες, ἁμαρτήματος ὑμῶν ἀληθινοὶ κριταὶ ὄντες. Ἅτινα γὰρ ὁ Ζαχαρίας περὶ τῆς πτωχείας τοῦ βασιλέως ὑμῶν προεφήτευσε, πῶς ὑμᾶς λανθάνειν δύναται;

Πρὸς τούτοις, βασιλικοῦ τοῦ φιλήματος ἐπιλανθάνεσθαι, ἀνόσιον. ΦΙΛΗΜΑ.
Τῆς εὐφημίας, ἐν τῇ τοῦ βασιλέως τούτου ἀρχῇ γινομένης, ἐνωτίζεσθε. Ἡ Σύγκλητος πάλαι βασιλέας ἐκλελεγμένους (f) τῆς ἀρχῆς ἕνεκα φιλήματι ἠσπάσατο, καὶ ἄχρι τοῦ σήμερον ἐν τῇ στεφανώσει τοῦ βασιλέως τῶν Ῥωμαίων Ἀρχιεπίσκοπος, (g) ὁ ἐπιτελῶν τὴν στεφάνωσιν, πρῶτον, καὶ εἶτα πάντες οἱ πρωτεύοντες τὸν βασιλέα φιλοῦσι. Καὶ πάλαι καὶ σήμερον βασιλεῖ τῷ ἐσομένῳ τὸ ΧΑΙΡΕ λέγεται. Ἐν τῇ τῶν Νόμων βίβλῳ (h) αὕτη ἡ ῥῆσις εὑρίσκεται. ΣΕΒΑΣΜΙΕ Ω ΚΩΝΣΤΑΝΤΙΝΕ, Ο ΘΕΟΣ ΣΕ ΥΜΙΝ ΣΩΖΗι! ΣΩΤΗΡΙΑ ΣΟΥ ΗΜΩΝ ΣΩΤΗΡΙΑ ΕΣΤΙΝ! ΑΛΗΘΩΣ ΛΕΓΟΜΕΝ, ΜΕΘ ΟΡΚΟΥ



(a) *Marq. Freher ad Pet. Andlo, I, 8.* (b) *Iliad β.* (c) *Iliad. α.* (d) *D. Cregel, Disp. cit. §. 35.* (e) *Zach. IX, 9.* (f) *Plin. in Panegyr.* (g) *Rittersh. ap. Romanum, in Disp. de Osculis §. 47.* (h) *L. unic. C. de Veteran.*

**ΛΕΓΟΜΕΝ.** Ἀλλὰ τὸ τῶν Ἰουδαίων ΧΑΙΡΕ γέγονεν εἰρωνικὸν, φίλημα ὑβριστικὸν, πλῆθος τῶν κολάφων ἄπειρον, ΚΟΛΑΦΩΝ φημὶ, κατ' ἔμφασιν τῆς ἑλληνικῆς λέξεως, κονδύλοις συνεσταλμένοις γενομένων. Φόρος, ὃν ἐτέλουν, σίαλον ἦν ὑβριστικὸν, ᾧ ἁγιώτατον τὸ βασιλέως πρόσωπον κατήσχυναν. Ω Γῆ! Ω οὐρανοὶ! τί αἰσχρότερον, ὠμότερον καὶ ἀτιμότερόν ἐστιν ἢ καταπτύεσθαι, (a) ὃ μὲν μυσαρὸν καὶ βδελυκτὸν εἶναι, παρὰ πάντων τεθρύλληται. Καταπτύειν τὸ πρόσωπον, πολιτικῶν ὑβρισμῶν (b) κομιδῆ ἦν μέγιστος, καὶ μείζων ὕβρις τοῦ καταπτύεσθαι τῷ σιάλῳ οὐ νομίζεται. Ως χαλεπὸν ἦν (πρὸς Θεῶν καὶ ἀνθρώπων!) ὑπὸ ἐθνικοῦ στρατιώτου ἐπ' ὀνομασίᾳ βασιλέως ἐμπαίζεσθαι! Ἀλλ' ἐκεῖναι αἱ γονυκλισίαι ἐμπαικτικαὶ τὴν σεβασμίαν καὶ αἰδεσίμην μεγαλειότητα δεικνύουσι τούτου τοῦ Βασιλέως, οὗ βλέμμα οἱ Ἄγγελοι, πρόσωπα αὐτῶν καλύπτοντες, οὐκ ὑπέχουσι, καὶ ἔμπροσθεν οὗ ὅλος ὁ κόσμος τρέμει, καὶ ἡ γῆ ἀποφεύγει.

**ΘΡΟΝΟΣ.** Ἀλλ' ἀπηνέσι τοῖς Ἰουδαίοις πάντα ταῦτα οὐκ ἀπόχρη. Ἡ λύσσα ἐκείνων εἰς τοσοῦτον αὐξάνεται κατὰ βασιλέως αὐτῶν, ὥστε ἱμείρωσιν ὁρᾷν αὐτὸν ἐν θρόνῳ καθήμενον. Τούτων ἕνεκα κράζουσιν, ἵνα εἰς τὸν θρόνον ἀναβαίνῃ. Ποῖος ἦν οὗτος; Ξύλινος, οὐδ' ἐκ κυπαρίσσου, οὐδ' ἐκ κέδρου, ἀλλὰ ἐκ κοινοῦ καὶ τυχόντος ξύλου, καὶ ἀναμφισβήτως ἐξ ἀκάρπου, ἐν οἵῳ ὡς ἐπὶ τὸ πολὺ τοὺς σταυροφόρους ἀνύψωσαν οἱ Ῥωμαῖοι. Μέρη τοῦ (c) θρόνου ἐκείνου τέτταρα γεγονέναι· στέλεχος ἤγουν ἐκ τῆς κέδρου, κορμὸν ὀρθοστάσιον ἐκ τῆς κυπαρίσσου, ξύλον πλάγιον ἐκ τοῦ φοίνικος, καὶ πίνακα (ἐν ᾧ ἡ ἐπιγραφὴ καὶ ὁ τίτλος ἐγράφη) ἐξ ἐλαίας, τινὲς (d) στοχάζονται μᾶλλον ἢ ἀληθῶς ἱστοροῦσι· καὶ οἱ ἑρμηνευταὶ (e) τῇ τῶν δοξῶν ποικιλίᾳ κατ' ἀλλήλων συγκρούονται, μάλιστα ἐν τῷ ὑποποδίῳ, ξύλῳ ἐν τῷ σταυρῷ ἐμπήκτῳ, ἐφ' ᾧ τοῦ σταυρωθησομένου πόδες ἠρέμησαν, ὅπερ (f) οἱ λογιώτεροι πλάσμα τῶν ζωγράφων νομίζουσιν, ὅτι τούτου τοῦ στηρίγματος οἱ ἔξω σοφοὶ, σταυροφόρων τιμωρίας ἀπογράφοντες, οὐ μνημονεύουσι. Ὁμοίως τὸ ἕδρα-

(a) *Deut. XXV, 9. Num. XII, 14.* (b) *G. Renesse ap. Clasen l. c. p. 178.* (c) *Erasm. Fr.* Schaubühne/*part. 1. p. 328.* (d) *Haak, in Disput. de Tit. Cruc. c. II. §. 7.* (e) *Müll. d. l. not. 54.* (f) *Clasen, p. 271.*

τὸ ἕδρανον, κέρας καὶ ἐξέχον τι τῷ Ἰουστίνῳ λεγόμενον, ὃ ἐν μέσῳ τοῦ στελέχους ὀρθοστασίου ἦν, καὶ ᾧ ὁ σταυρωθεὶς (a) ἐνίππευσεν, ἵνα τὸ σῶμα διὰ τὸ βάρος, διαῤῥαγέντων ἐν ταῖς χερσὶ δεσμῶν καὶ νεύρων, μὴ πίπτῃ πρηνὲς χάμαζε, ἐν μέσῳ καταλείπω· ὥσπερ καὶ τὰ περὶ ἀκριβεστέρας τῆς μορφῆς τοῦ θρόνου, (b) πότερον τὸ T γράμμα Λατῖνον, ἢ κεφαλαιωτὸν, στελέχους ἐφ᾿ ὅσον προκύπτοντος ὑπὲρ τὴν κεφαλὴν, ἢ X ἢ Y Ἑλληνικὸν ὑποτύπωσε, βέβαιόν τι λέγειν οὐκ ἔχω, ὅτι ὅλον τοῦτο ἄδηλόν ἐστι καὶ ἀγνώριστον. Λοιπὸν, οἱ μὲν θρόνον ἐκεῖνον τῶν ἄλλων ὑψηλότερον γεγονέναι διὰ τοῦτο νομίζουσιν, ὅτι ὁ Χριστὸς, ὡς στασιωτῶν κεφαλὴ καὶ ψευδοβασιλεὺς ἐσταυρώθη, οἱ δὲ οὐχ οὕτω μέγαν γεγονέναι, πολλοῖς καὶ οὐ κούφοις ἐλέγχοις πείθουσι.

Βλέπετε οὖν, ὦ Ἀκροαταὶ, τὸν βασιλέα Ἰουδαίων καθήμενον ἐπὶ τῷ θρόνῳ αὐτοῦ. ΠΑΝΗΓΥ-ΡΙΚΟΣ. ΠΑΝΗΓΥΡΙΚΟΝ καὶ βασιλικὸν λόγον, ἐὰν ὤτων ὑμετέρων ἐᾷ ὑπομονὴ, ὑπὸ τοῦ Πιλάτου καὶ γυναικὸς αὐτοῦ Χριστῷ λεγόμενον, νῦν ἀκούετε. Κατ᾿ (c) ἔθος Ῥωμαίων, ᾧ ἡ αἰτία τοῦ ἐγκλήματος ταῖς τιμωρίαις προσετίθετο, Πιλάτος τίτλον ἤγουν καὶ ἐλογεῖον τρίγλωσσον, διὰ τοῦ γραμματέως (d) γεγραμμένον, προσέθηκεν· ΟΥΤΟΣ ΕΣΤΙΝ ΙΗΣΟΥΣ Ο ΝΑΖΑΡΑΙΟΣ Ο ΒΑΣΙΛΕΥΣ ΤΩΝ ΙΟΥΔΑΙΩΝ. Γεγραφέναι δὲ Πιλάτον ταύτην τὴν ἐπιγραφὴν, οἱ Εὐαγγελισταὶ, (e) χρώμενοι λέξει ΓΡΑΦΕΙΝ, οὐχ ἅπαξ μαρτυροῦσι, τοῦ Ἑυνσίου γραφὴν εἰς γλυφὴν εἰκῆ παραφέροντος. Ὅσον πρὸς πίνακα τείνει, ᾧ τίτλος ἐνεγράφη, κατὰ τὴν δόξαν τῶν πολυμαθῶν, (f) λεύκωμα ἦν ἢ σανὶς λελευκωμένη, ἐγκαύστῳ γεγραμμένη, καὶ δίκην στήλης ἢ κίονος ἐπιταφίου ὠρθωμένη, τουτέστι σχήματι τετραγώνῳ, (g) ἐφ᾿ ὅσον ταναῷ, ▯, καὶ οὐ πλαγίῳ, ▭. Βλέπετε οὖν, ὦ Ἀκροαταὶ, μαρτυρίαν τῆς ἀκακίας, ὑπὸ Πιλάτου, ἀνδρὸς ἐθνικοῦ, βρενθυομένων Ἰουδαίων, Χριστῷ τιθειμένην, ἢ ὑπερβάλλουσαν ἐκείνων ἄνοιαν σιωπήσας ἐλέγχει, ὅτι γλιχόμενοι βασιλέα ἔχειν, ὅμως τοῦτον σταυρωθῆναι αἰτοῦσιν. Οὐδὲν ἧττον, Θεοῦ οὕτω προορῶντος,

αὐτη

(a) *Raup. Lex. Th. in Crux.* (b) *Kipping. Exerc. 17. de Cruce.*
(c) *Clasen loc. cit. cap. 18.* (d) *Senec. conv. 2, 3. & 6, 8.*
(e) *Matth. XVII, 17. Marc. XV. 25. Luc. XXIII, 28 &c.*
(f) *Haak loc. cit. §. 10.* (g) *Arn. Merman de Cruce c. 14. Salm. de Mod. usur.*

αὕτη ἐκείνη ἐπιγραφὴ, ἣν ἀνόητοι οἱ Ἰουδαῖοι ἀτιμίας καὶ ὕβρεως ἕνεκα γίνεσθαι ἐνόμισαν, δόξα μεγίστη ὑπηρέτησεν. Ὀρθῶς γὰρ τρισὶ γλώσσαις ὁ ἀληθινὸς Βασιλεὺς ἀνακηρύττεται, ἵνα μηδεὶς τῶν ἐν Ἱεροσολύμοις τότε παρόντων ἀγνοῇ, Χριστὸν, τῶν Ναζαραίων γενναιότατον καὶ κορυφαιότατον, τοῦ ἀνθρωπίνου γένους κόσμον καὶ στέφανον λαμπρότατον, τῶν ὄντως ΙΟΥΔΑΙΩΝ, τουτέστιν, ἀληθινῶν τοῦ ὀνόματος τοῦ Θεοῦ ὁμολογητῶν, βασιλέα εἶναι ἀληθινώτατον. Ποίας γνώμης νῦν ἔχετε, ὦ Ἰουδαῖοι; Ὃν στασιαστὴν πάρος ἐβοήσατε, ἐν τῷ παρόντι βασιλέα εἶναι, ἐν τῷ σταυρῷ ἀναγινώσκετε. Νυνὶ τὸν τοῦ Πιλάτου γυναικὸς ἔπαινον, ὃν Χριστῷ ἔδωκεν, Ἀκροαταὶ, διὰ βραχέων ἀκούειν οὐκ ὀκνεῖτε. Ἔδωκε δὲ ἤδε τῷ Χριστῷ τοῦ Δικαίου καὶ ἀκάκου ἔπαινον, δι᾽ οὗ πολλὰ κατ᾽ ΟΝΑΡ ἐν τῇ νυκτὶ ἔπαθε, τουτέστι (καθὼς οἱ σοφώτεροι μάλα εἰκότως γράφουσι) τοῦ δικαίου καὶ ἀδίκως κατηγορηθέντος Χριστοῦ ἀναμνήσει τεταραγμένη, φαντασίᾳ τε καὶ προαισθήσει τῶν μελλόντων κακῶν, ἐὰν ὁ ἀναμάρτητος καταχρισθείη, ἀδημονοῦσα, μυρίαις τε ἀθυμίαις, καὶ ἀγωνίαις, καὶ φοβεροῖς ἐνυπνίοις, ὑπὸ τὸν ὄρθρον τῆς ἡμέρας (καθὼς τὸ ΣΗΜΕΡΟΝ μηνύει) γινομένοις, οἷα ὡς ἐπὶ τὸ πολὺ μαντικὰ καὶ σημειώσεως ἄξια εἶναι φιλοῦσιν, ἐπτοημένη πολλὰ ὑπέμεινεν. Ἐβλέψατε νῦν διπλοῦν ἀκακίας μαρτύριον.

ΠΟΤΗΡΙΟΝ.

Ἀλλὰ Πιλάτος τοῦτο τὸ μαρτύριον ἐξεφαύλισεν, ἡττῶν ὢν τῶν ἀπειλῶν, καὶ παρακινηθεὶς τῷ φόβῳ τοῦ ἐκπίπτειν τῆς τοῦ Καίσαρος εὐμενείας, θάνατον Βασιλέως τῶν Ἰουδαίων κατεγίνωσκεν. Ἀπάγεται οὖν ὁ Χριστὸς, ῥαβδοῦχος ἑτοιμάζει τὸν σταυρὸν, καὶ εἰς τὸ δικαιωτήριον ἐρχομένῳ ΠΟΤΗΡΙΟΝ φέρουσιν, οὐ μὲν κύλικα Ἀγαθῆς Τύχης, ἐκλελεγμένῳ βασιλεῖ προπίνεσθαι εἰθισμένον, ἀλλὰ ποτισμὸν λίαν πικρὸν, οἶνον μὲν (κατὰ Μάρκον) ἀλλ᾽ οὐ καθαρὸν, ἤγουν ἐξεστηκότα καὶ ὀξυνθέντα· Ἑνὶ λόγῳ, ΟΞΟΣ (κατὰ Ματθαῖον) τουτέστιν, οἶνον ὀξεῖον καὶ ἐσμυρνισμένον, σμύρνᾳ μεμιγμένον, πικρίᾳ τῇ χολῇ ὅμοιον. Διὰ τί δὲ οἶνος ὀξεῖος δέδοται; Εἰ τούτου ἕνεκα, ἵνα μεθυσθεὶς θανάτου μὴ αἰσθάνηται; οὐδαμῶς· ἀλλὰ μᾶλλον, ἵνα βραδέως ἀποθνήσκῃ, καὶ θανάτου πολλάκις γεύηται, αἱ δὲ δυνάμεις εἰς τὸ ἀνέχεσθαι τὰς βασάνους βεβαιῶνται. Ἀπυληΐου γὰρ (a) μαρτυροῦντος, ἡ σμύρνα καὶ νοῦν καὶ σῶμα κρατύνει.

Καθη-

(a) *Lib. 8. & 10. Metam. apud Müller. p. 139.*

ΚΡΟΤΟΙ ΔΗΜΟΣΙΟΙ.

Καθήμενοι οὖν τοῦ Βασιλέως ἡμῶν ἐπὶ τοῦ θρόνου αὐτοῦ, κροτήματα καὶ ἀλαλάγματα νῦν ἀκούωμεν. Οἴδατε γὰρ, ὦ Ἀκροαταὶ, ἐὰν κατεστάθῃ κοσμικὸς ὁ βασιλεὺς, αὐτίκα τὰ Τύμπανα ἀντηχεῖν, πᾶσάν τε τὴν Αὐλὴν κρότους κροτεῖν, καὶ τοὺς μὲν ποικίλοις ὀργάνοις μουσικοῖς ἀλαλάζειν, τοὺς δὲ ἐκλελεγμένῳ τῷ ἄρχοντι αἴσια καὶ ὄλβια πάντα ἐπεύχεσθαι. Ποῖα δὲ ἐν τῇ βασιλέως ἡμῶν ἐκλογῇ κροτήματα καὶ ἐπευφημίαι; Ἰδοὺ, ὁ ἥλιος, φῶς καὶ ὀφθαλμὸς τοῦ κόσμου, ὅταν ἡ πλήρης τῆς σελήνης κύκλος, ἐξαίφνης ἐκλείπει, καὶ ὁλικῇ τοῦ φωτὸς αὐτοῦ ἀμαυρώσει, τρεῖς ὥρας γινομένῃ (οἵας φυσικὰς (a) εἶναι, οἱ Μαθηματικῶν παῖδες ἐξαρνοῦνται) διαφωνήσας ἀπὸ τῆς ἐκλογῆς ταύτης, φοβερῶς ἐκπλήττεται. Ἡ γῆ, σεισμῷ φοβερωτάτῳ σαλευθεῖσα, κακούργημα τόδε βαρέως φέρει. Σκληραὶ αἱ πέτραι αἱ ἐσχισμέναι ἀσεβῆ καὶ πονηρὰν τὴν ἐκλογὴν ἀποδοκιμάζουσι, καὶ διὰ τῶν σχισμῶν, ὡσεὶ διὰ χειλῶν ἀνεωγμένων, τοῖς Ἰουδαίοις, περὶ βραχέος θάνατον τοῦ Χριστοῦ φωνῇ μεγάλῃ ἐξῃτηκόσιν, ἀντικράζουσι. Τὸ καταπέτασμα τοῦ ἱεροῦ ἐσώτερον, τεσσάρων δακτύλων πάχος ἔχον, ὡς οἱ τῶν Ἰουδαίων (b) διδάσκαλοι πιστεύουσιν, ἀπὸ ἄνωθεν ἕως κάτω εἰς δύο ἴσα μέρη διαιρεθὲν, θύραν εἰς τὸ ἅγιον ἁγίων ἀνοίγει, καὶ τὸ ἱεράτευμα Ἰουδαϊκὸν, βασιλέως καὶ ἱερέως αὐτῶν σταυρωθέντος, νῦν παύεσθαι δηλοῖ. Τὰ μνημεῖα ἀνοίγονται, καὶ τὰ σώματα τῶν νεκρῶν ἀνὰ δύο ἡμέρας πάντων ὀφθαλμοῖς ἐκτίθενται· Οἱ νεκροὶ ἐγηγερμένοι τῶν τάφων ἐξέρχονται, καὶ τούτου τοῦ βασιλέως ἀνάδειξιν ἁπανταχοῦ γνωρίζουσι. Τέλος, ἐσταυρωμένου τοῦ βασιλέως αἷμα καὶ ὕδωρ, (c) δι' ἀνεωγμένων τῶν πλευρῶν δαψιλῶς ἐκρέοντα, μαρτυροῦσιν, ὅτι ἀδίκως ὁ Χριστὸς ἐσταύρωται, καὶ ὅτι, ἀληθινὸς βασιλεὺς ὢν, κακῶς ψευδοβασιλεὺς ἐνομίζετο.

Αὕτη, ὦ Ἀκροαταὶ, βασιλέως ἡμετέρου Ἀνάδειξίς ἐστιν, ἣν μείζονι εἴτε χαρᾷ, εἴτε ὀδύνῃ νυνὶ σκεπτώμεθα. Τίς γὰρ, εἰ μὴ πέτρινος ὢν, δάκρυα οὐκ ἀφείη, ἀρρήτου τούτου κακουργήματος ἀναμιμνησκόμενος, ἐν ᾧ ὁ δικαιότατος τοῖς κακούργοις, ὁ εἰρηνοποιὸς τοῖς πολε-



(a) *Barthol. Astrol. p 109. Zigler. de Eclips. §. 34.* (b) *Kunad. de Sanct. rediv. procem.* (c) *Posner. in Disp. de Admirand. quæ tempore mortis Christi euenerunt.*

μίοις προσαναθεμεῖται, ὁ σωτὴρ τοῦ ἀνθρωπίνου γένους σταυροῦται, ἡ θεία μεγαλειότης χλευάζεται καὶ ὀνειδίζεται; Ἀλλὰ διὰ τοῦτο καὶ ἡμεῖς ὑπερβαλλόντως χαίρωμεν, ὅτι οὕτω θαυμαστοῦ ἡγεμόνος τῆς μακαριότητος, πολυκηδοῦς βασιλέως τῆς ἀσφαλείας, καὶ ὑψίστου θριαμβευτοῦ τετυχήκαμεν· Ὦ ἀγάπη ἄνευ παραδείγματος! ὦ ἔρως ἄνευ μέτρου. Σὺ, πιστότατε ὦ Χριστὲ, ὑπὲρ ἡμῶν κατάρα καὶ ὄνειδος γέγονας· Τῇ ἐκλογῇ σου ἡμᾶς εἰς τὸν λαόν σου ἐξέλεξας. Ἀνάρρησίς σου ἡμᾶς αἰωνίου Πατρός σου υἱοὺς καὶ ζωῆς αἰωνίου συγκληρονόμους ἀπεκήρυξε. Σχῆμα βασιλικόν σου, ἡ βύσσος καὶ πορφύρα, ἡμῖν τῆς δικαιοσύνης χιτών ἐστι, λαμπρὸς διὰ τὴν ἀβλάβειαν, ἐρυθρὸς δὲ διὰ τὸν τοῦ σωτηριώδους σοῦ αἵματος ῥαντισμόν. Χρίσμα τῆς μαστίξεως σου, τῆς χαρᾶς ἡμετέρας ἔλαιόν ἐστιν· ὁ στέφανός σου ἀκάνθινος, κόσμος ἡμῶν αἰώνιός ἐστι. Τὸ σκῆπτρόν σου πολίτας ἡμᾶς ἐν τῷ πολιτεύματι τῶν οὐρανῶν ἐποίησε· Τὸ σίαλον, ᾧ σε ἠτιμήκασι, πᾶσαν ἀφ' ἡμῶν ἀπομάττει τὴν ἀδοξίαν· Τὸ ξύλον τοῦ σταυροῦ, ἐστὶν ἡμῖν δένδρος τῆς ζωῆς· Ὁ πανηγυρικὸς, σοὶ λεγόμενος, ῥύει ἡμᾶς ἀπὸ πάσης τιμωρίας· Τὸ ποτήριον, χολῇ μεμιγμένον, ἐστὶν ἡμῖν οἶνος αἰωνίου χάρματος γλυκερώτατος. Τί οὖν, ὦ βέλτιστε ψυχῶν ἡμετέρων Νυμφίε, ἀντὶ τοσαύτης ἀγάπης σοὶ ἀντιπαρέχειν δυνάμεθα; Ἰδοὺ, ὅλους ἡμᾶς, ψυχῇ καὶ σώματι, τῇ τιμῇ καὶ τῇ ἀγάπῃ σου προσφέρομεν. Σὺ δὲ, ὦ ἄνθρωπε, φεῦγε τὰς ἁμαρτίας, κατάπλυε τὰς ἀνομίας, ὑφ' ὧν οὕτως ἐλεεινὴ ἡ εἰκὼν τοῦ βασιλέως ἡμῶν γέγονεν, εἰς ἣν σὺ ἐμβλέψας ὄντως μετανόησον, καὶ εὐσεβὴς εἶναι μέμνησο. ΕΙΡΗΚΑ.

I.

Γράμματα καὶ Μούσας φιλέει ΛΕΥΤΟΥΕΙΝΙΟΣ ἐσθλὸς.
Ἔνθ' αὐτὸν Μοῦσαι ἀμφαγαπῶσι πάλιν.
Αὐτὸς ἔναγχος ἐγὼ Μούσης ἤκουσα λεγούσης·
(ὡς οἴω, γλυκερὴ Καλλιόπεια πέλεν)
Κεῖνος, ἐὰν σπεύσει οὕτω, μέγα τοὔνομα σχήσει
Σύμπασιν χαρίεις θαυμάσιός τε ἐών.

Πολυμαθεστάτῳ κυρίῳ, Χ. Φ. Λευτουεινίῳ,
Φιλίας ἕνεκα ἐποίησε

Γ. Μ. ΚΟΙΝΙΓΙΟΣ.

Re-

### II.

REerum, CHRISTE, ſalus, ſanctorum regula Regum,
Veſtis cui propriô ſanguine tincta rubet.
Tu tunicas igitur viles, lacerasq; lacernas
Sub pedibus mitis, purpura pura, vides.
Et thallos virides, avulſaq; brachia palmis,
Atq; humilis plauſum plebis oſanna probas.
En aliquis Pæana Tibi canit ore Pelasgo,
Et ſolvit gratis docta tributa labris.
Jamq; Ipſi lauri creſcunt. Ipſum aſpice porrò.
Quod dederis ſervo, ſerviet omne Tibi.

*Pro amiciſſimo ſibi capite calido ſcribebat affectu, Feſto Palmarum die,*

Joh. Gabriel Majer, Helv.

### III.

ΠΑύροις ἐστὶν ἔρως, Ἑλληνικὰ γράμματα γνῶναι.
Ἐν παύροις ᾗ καλὸν, τοὔνομά ἐστιν ἔχειν.
Ἐκ τούτων πελέθεις, ΛΕΥΤΟΥΕΙΝΙΕ φίλτατε· Εὖγε,
Ἔστω ἐν παύροις τοὔνομα σεῖο μέγα!

*Amoris ergò F.*

Wolfg. Duſcherus.

### IV.

N*On ſat erat Latium peragraſſe fideliter orbem*
LEUTWINIO, *Græcam nî quoq; noſſet humum.*
*Helladis hinc oras ſtudio comitante petivit,*
*Et Grajo didicit reddere verba ſono.*
*En doctum ſpecimen rari ſermonis, inuncti*
*Soteris noſtri Regia jura docens.*
*Non igitur mirum, tam raram rara manere*
*Præmia doctrinam, quæ modò rara meret.*

Paucas hasce lineolas
In debitum & honorem & amorem Clariſſimi, variæq; eruditionis laude Ornatiſſimi Dn. Oratoris, Amici ac Fautoris ſui æſtumatiſſimi appoſuit

Paulus Steck.

Στι-

## V.

Ευτεπὴ τίνα σε ΒΑΣΙΛΗΑ λιγύθροος ἡμῖν,
Φίλτατε, προσειπὼ; ΒΑΣΙΛΗΑ πόλοιο γένης τε,
Τιμῆς καὶ δόξης, ᾧ ἔλω βασιλήϊος ἀρχὴ
Ουρανόθεν, ΒΑΣΙΛΗ ΒΑΣΙΛΗΩΝ ΧΡΙΣΤΟΝ ΑΠΑΝΤΩΝ,
Ανδρομέου βιότοιο Λυτήριον, ὅσκε δι' ἡμῶν
Αμπλακίας βδελυρὰς εἰς τοῦτο ἤλυθε κόσμου
Αγνὸς ἁμαρτίνοον, θανάτου γεύεσθαι ἀφήμου
Ιμείρων. Τοῦτον ΣΥ νεωςὶ Αχαιΐδι φωνῇ
Κηρύττων ἀνεμέλψω, Αυσονίου ἐπιφαίνων
Ηδὲ Αχαιοῦ ὁμοῦ ΣΕ λόγου ἔμπειρον. Επειδὴ
Νῦν ἄρα ἡμέας καταλείπεις, κεῖνος Ιησοῦς,
Ον κομψῶς ΒΑΣΙΛΗΑ λέγεις, ΣΟΙ ἀπ' ἄρτι παρείη!

Λογιωτάτῳ τῷ Κυρίῳ συγχαίρων, καὶ
πάντα εὔποτμα εὐξάμενος,
προσῆδε,

ΜΑΡΤΙΝΟΣ ΕΡΒΣΤΙΟΣ.

## VI.

Πῆ φεύγεις, ΕΛΛΑΣ; Πῆ σε πτερὰ κραιπνὰ φέρουσιν;
Ει τάχα νοςῆσαι ἐθέλεις εἰς Πατρίδα δῖαν,
Ἣν Θρᾷξ ὄλος ἔχει; Παύου, μὴ ἔξιθι γαίης
Ἡμετέρης, μίμνειν παρά ἡμῖν, σοι φίλον ἔσω.
Ἠνὶ, φίλη ΕΛΛΑΣ, σὲ καλεῖ ΛΕΥΤΟΥΕΙΝΙΟΣ οὗτος,
Ἠδὲ Νέοι ἄλλοι, οἷσιν κεχαρισμένη ἐσσί.
Οὐκ ἀπίθησε Θεά· Ἐπανέρχεται αἶψα, καὶ αὖθις
Ἐν τῇ ἡμετέρῃ μιμνάζειν εὔχεται αἴα.
Ὤφελεν ἀλλ' οὔπω γαῖαν Γερμανίδα λείπειν!

Φιλίας
ἕνεκα ἐποίησε

ΙΩΑΝ. ΙΑΚΩΒ. ΛΕΙΒΝΙΖΙΟΣ.